τῆς πόλεως συμφοραί. ὧν ἄξιον ὑμᾶς ἐνθυμηθέντας
προθύμως ἡμῖν βοηθῆσαι, ἡγησαμένους τούτους ἂν ἐν
δημοκρατίᾳ δικαίως εὖ πάσχειν ὑφ᾽ ὑμῶν, οἵπερ ἐν ὀλι-
γαρχίᾳ τῶν συμφορῶν μετέσχον ⟨τὸ⟩ μέρος. Ἀξιῶ δὲ 26
καὶ τούτους τοὺς συνδίκους εὔνους ἡμῖν εἶναι, ἐκείνου
τοῦ χρόνου μνησθέντας, ὅτ᾽ ἐκ τῆς πατρίδος ἐκπεπτω-
κότες καὶ τὰς οὐσίας ἀπολωλεκότες ἄνδρας ἀρίστους
ἐνομίζετ᾽ εἶναι τοὺς ὑπὲρ ὑμῶν ἀποθνήσκοντας, καὶ τοῖς
θεοῖς ηὔχεσθε δυνηθῆναι χάριν τοῖς ἐξ ἐκείνων ἀπο-
δοῦναι. ἡμεῖς τοίνυν, υἱεῖς ὄντες καὶ συγγενεῖς τῶν ὑπὲρ 27
τῆς ἐλευθερίας προκεκινδυνευκότων, ἀπαιτοῦμεν ὑμᾶς
νυνὶ ταύτην τὴν χάριν, καὶ ἀξιοῦμεν μὴ ἀδίκως ἡμᾶς
ἀπολέσαι, ἀλλὰ πολὺ μᾶλλον βοηθεῖν τοῖς τῶν αὐτῶν
μετασχοῦσι συμφορῶν. ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ ἀντι-
βολῶ καὶ ἱκετεύω, καὶ τούτων παρ᾽ ὑμῶν τυγχάνειν
ἀξιῶ· οὐ γὰρ περὶ μικρῶν κινδυνεύομεν, ἀλλὰ περὶ τῶν
ὄντων ἁπάντων.

19.

## ΥΠΕΡ ΤΩΝ | ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΧΡΗΜΑΤΩΝ, ΠΡΟΣ ΤΟ ΔΗΜΟΣΙΟΝ.

Πολλήν μοι ἀπορίαν παρέχει ὁ ἀγὼν οὑτοσί, ὦ ἄν- 1
δρες δικασταί, ὅταν ἐνθυμηθῶ ὅτι, ἐὰν ἐγὼ μὲν μὴ νῦν
εὖ εἴπω, οὐ μόνον ἐγὼ ἀλλὰ καὶ ὁ πατὴρ δόξει ἄδικος
εἶναι καὶ τῶν ὄντων ἁπάντων στερήσομαι· ἀνάγκη οὖν,
εἰ καὶ μὴ δεινὸς πρὸς ταῦτα πέφυκα, βοηθεῖν τῷ πατρὶ
καὶ ἐμαυτῷ οὕτως ὅπως ἂν δύνωμαι. „τὴν μὲν οὖν παρα- 2
σκευὴν καὶ ⟨τὴν⟩ προθυμίαν τῶν ἐχθρῶν ὁρᾶτε“, καὶ
οὐδὲν δεῖ περὶ τούτων λέγειν· τὴν δ᾽ ἐμὴν ἀπειρίαν
πάντες ἴσασιν, ὅσοι ἐμὲ γιγνώσκουσιν. „αἰτήσομαι οὖν
ὑμᾶς δίκαια καὶ ῥᾴδια χαρίσασθαι“, ἄνευ ὀργῆς καὶ ἡμῶν